ἄλλα δ' ἐπ' ἄλλοις ἐπενώμα στυφελίζων μέγας Ἄρης
δεξιόσειρος.
ἑπτὰ λοχαγοὶ γὰρ ἐφ' ἑπτὰ πύλαις
ταχθέντες ἴσοι πρὸς ἴσους ἔλιπον
Ζηνὶ τροπαίῳ πάγχαλκα τέλη,
πλὴν τοῖν στυγεροῖν, ὢ πατρὸς ἑνὸς
μητρός τε μιᾶς φύντε καθ' αὑτοῖν
δικρατεῖς λόγχας στήσαντ' ἔχετον
κοινοῦ θανάτου μέρος ἄμφω.

ἀντιστροφὴ β'.

ἀλλὰ γὰρ ἁ μεγαλώνυμος ἦλθε Νίκα
τᾷ πολυαρμάτῳ ἄρτι χαρεῖσα Θήβᾳ,
χρὴ μὲν δὴ πολέμων
τῶν νῦν θέσθαι λησμοσύναν,
θεῶν δὲ ναοὺς χοροῖς
παννυχίοις πάντες ἐπέλθωμεν, ὁ Θήβας δ' ἐλελίχθων
Βάκχιος ἄρχοι.
ἀλλ' ὅδε γὰρ δὴ βασιλεὺς χώρας
ὁ Μενοικέως παῖς τῆσδε νεοχμὸς

*ἄλλα* (*ἄλλᾳ* L. corr. pr. m.) *τὰ δ'* mss. *ἄλλα τάδ'* T. *ἄλλα δ'* Erf. Weckl. Jebb.

144. Qu. *ὢ* (*'κ*) *πατρὸς ἑνός*.

147. *κοινοῦ*] Qu. *κοινόν*. Cf. El. 1135. *τύμβου πατρῴου κοινὸν εἰληχὼς μέρος*.

149. *ἀντιχαρεῖσα* mss. Vitiosum. Etiam Nauckio suspectum. Correxi *ἄρτι χαρεῖσα*. Qu. *ἄλκαρ ἔχουσα*.

150. *ἐκ μὲν δὴ πολέμων* mss. *ἀκμὴ δὴ* — Seyf. Qu. *χρὴ μὲν δὴ* —, aut *νῦν μὲν χρὴ* —, aut *νῦν δὴ δεῖ* —.

151. *τῶν νῦν* mss. *χρὴ νῦν* Nauck. *θέσθε* (*θέσθαι* L. pr.) mss. *θέσθαι* T. Jebb. *λησμοσύνην* mss. *λησμοσύναν* Br.

153. *παννυχίοις* plures mss. *παννύχοις* A. K. L. *πόντας* mss. Correxi *πάντες*. *ἐλελίζων* A. K. et (*γρ. ἐλελίχθων* ab S.) L. *ἐλελίχθων* correctum ex schol., ubi per *κινησίχθων* explicatur. Cf. Pind. P. 2, 8. *τετραορίας ἐλελίχθονος*. 6, 50. *ἐλέλιχθον* — *Ποσειδᾶν*.

154. *βακχεῖος* mss. *βάκχιος* Both.

156. *Κρέων ὁ Μενοικέως νεοχμὸς* mss. *νεοχμὸς* post *Μενοικέως* delevit Dind. Qu. *τῆσδε νεοχμὸς παῖς ὁ Μενοικέως* (deleto gl.